**ἰωνικὸν ἀπὸ μείζονος δίμετρον βραχυκατάληκτον /**
**ionicum a maiore (maius) dimetrum brachycatalectum**

**1.** × – ⏑ ⏑ – ×

Trich. 392. 4 sq. δίμετρον (*scil.* ἰωνικὸν ἀπὸ μείζονος) μὲν οὖν ἐστι βραχυκατάληκτον τοῦτο·

καὶ λάβρον ἐρύκοις.

Tzetz. *de metr. Pind.* 42. 1 sqq.

τὸ ἔνατον ἰωνικὸν ἀλλ᾽ ἀπὸ μείζονός τε
βραχυκατάληκτον ἐστί, δίμετρον ὥστε εἶναι.
λάβε μοι τὴν καταγραφὴν ὥσπέρ τινα κανόνα.
ἰωνικὸν ἀπὸ μείζονος ἰωνικὸν ἥμισυ
– – ⏑ ⏑ – ⏓.

Tzetz. *de metr. Pind.* 62. 10 sqq.

τὸ δέ γε τρισκαιδέκατον βραχυκατάληκτόν τι
ἰωνικόν, ὡς δίμετρον τὸ ὅλον γίνεσθαί σοι,
τὸ ο̅ βραχὺ αὐξάνοντος ἐν τῇ στροφῇ τοῦ λ̅.
ἰωνικά
– – ⏑ ⏑ – –.
ἐν δέ γε τῇ ἀντιστροφῇ γίνεταί τι καὶ ξένον,
εἴπως οὐ διαιρήσεις μοι τὸ ῾ψεύδει᾽ (*Ol.* 4. 17) εἰς τὸ ῾δέϊ᾽.
οὕτως γὰρ φυλαχθήσεται ἀκέραιον τὸ μέτρον.
εἰ ἦσαν ἀπ᾽ ἐλάσσονος ταῦτα ἰωνικά γαρ,
οὐδόλως τι ἐκώλυε καὶ τρίμακρον λαμβάνειν,
λεγόμενον καὶ μολοττόν, ἐν περιττῇ τῇ χώρᾳ.
ἐπεὶ δὲ ἀπὸ μείζονος, οὐδόλως τοῦτο εἴπω·
ἐν γὰρ τοῖς ἀπὸ μείζονος, χωρῶν ἐπὶ ἀρτίων
ἐμπίπτουσιν οἱ μολοττοὶ δευτέρας καὶ τετάρτης,
ἐν δὲ τοῖς ἀπ᾽ ἐλάσσονος, χώραις ἐν ταῖς ἀρτίαις
οὐ πίπτουσιν οἱ μολοττοί, ἐν περιτταῖς δὲ κεῖνται.

Tzetz. *de metr. Pind.* 89. 19 sqq.

τὸ ἕβδομον ἰωνικὸν ἀλλ᾽ ἀπὸ τῶν μειζόνων
ἔστι βραχυκατάληκτον, ὡς δίμετρον πληροῦσθαι.
ἰωνικά
– – ⏑ ⏑ – –.
...τὸ ἔνατον ἰωνικὸν ὅμοιον τῷ ἑβδόμῳ.
ἰωνικά
– – ⏑ ⏑ – –.
...ἑβδόμῳ καὶ ἐνάτῳ τε ἑνδέκατον ὁμοίως·
βραχυκατάληκτον καὶ γὰρ ἰωνικὸν ὑπάρχει
ἰωνικά
– – ⏑ ⏑ – –.
...τὸ τρισκαιδέκατον ἐστὶν ὅμοιον τῷ ἑβδόμῳ,
καὶ τῷ ἐνάτῳ ἔστι δε, καὶ δὴ τῷ ἑνδεκάτῳ·

βραχυκατάληκτον καὶ γὰρ ἰωνικὸν ὑπάρχει,
ὡς δίμετρόν σοι γίνεσθαι· ὅρα καὶ μέτρει πάλιν.
ἰωνικά
– – ◡ ◡ – –.
...92. 7 δεῦρ᾽ ἴθι καὶ τὸν ἐπῳδὸν ἐγκατασκόπει πάλιν
...94. 5 sqq. τὸ ἔνατον ἰωνικὸν βραχυκατάληκτόν τε,
ὡς δίμετρον καθίστασθαι, πλὴν ἀπὸ τῶν μειζόνων.
ἔστι γὰρ ἀδιάφορος ὁ πρῶτος ποὺς ἐνταῦθα,
καὶ παρατήρησις ἐστὶν αὐτῷ τῷ ῥυθμογράφῳ (cf. Hephaest. 36. 19 sqq.),
ὅτ᾽ ἴαμβος ὁ πρότερος ἐν ἰωνικοῖς πέλει.
ἰωνικὸν ἀπὸ μείζονος ἰωνικὸν ἥμισυ
◡ – ◡ ◡ – ◡.

ANON. HARL. 24. 23 sq. δίμετρον (*scil.* ἰωνικὸν ἀπὸ μείζονος) βραχυκατάληκτον· (Pind. *Ol.* 1. 28a)
ἦ θαύματα πολλά.
...25. 3 sq. δίμετρον βραχυκατάληκτον· (Pind. *Ol.* 4. 8)
Οὐλυμπιονίκαν.

SCHOL. VET. in Pind. *Ol.* 1 (p. 2. 6 sq. Tessier) τὸ θʹ ἱππωνάκτειον, ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) δίμετρον βραχυκατάληκτον.

SCHOL. REC. in Pind. *Ol.* 1 (p. 49. 1 sqq. Abel) τὸ θʹ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον βραχυκατάληκτον, ὃ καὶ ἡμιόλιον καλεῖται ὡς ἔχον τὸν ὅλον πόδα καὶ τὸ ἥμισυ αὐτοῦ.

SCHOL. VET. in Pind. *Ol.* 4 (p. 4. 15 sq. Tessier) τὸ ιγʹ ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) δίμετρον βραχυκατάληκτον τῆς ἀρχούσης ἀδιαφόρου.

SCHOL. REC. in Pind. *Ol.* 4 (p. 171. 23 sqq. Abel) τὸ ιγʹ ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον, ἤτοι δίμετρον βραχυκατάληκτον. τοῦτο καὶ ἀναπαιστικόν ἐστι πενθημιμερές.

SCHOL. VET. in Pind. *Ol.* 9 (p. 8. 11 sqq. Tessier) τὸ ζʹ ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) δίμετρον βραχυκατάληκτον ... τὸ θʹ ὅμοιον τῷ ζʹ ... τὸ ιαʹ ὅμοιον τῷ ζʹ καὶ θʹ ... τὸ ιγʹ ὅμοιον τῷ ζʹ καὶ θʹ καὶ ιαʹ ... ἡ δὲ ἐπῳδὸς κώλων ιʹ ... τὸ θʹ ἰωνικὸν δίμετρον βραχυκατάληκτον ἀδιάφορον κατὰ τὴν ἄρχουσαν.

SCHOL. REC. in Pind. *Ol.* 9 (p. 310. 16 sq. Abel) τὸ ζʹ ἰωνικὸν δίμετρον βραχυκατάληκτον ἀπὸ μείζονος, ἤτοι ἡμιόλιον ... (p. 311. 2 Abel) τὸ θʹ ὅμοιον τῷ ζʹ ... τὸ ιαʹ ὅμοιον τῷ ζʹ καὶ θʹ ... τὸ ιγʹ ὅμοιον τῷ ζʹ ... περὶ τῶν κώλων τῶν ἐπῳδῶν ... (p. 312. 4 sqq.) τὸ θʹ ἰωνικὸν δίμετρον βραχυκατάληκτον, ἤτοι ἡμιόλιον. ἔχει δὲ τὸν αʹ πόδα παίωνα βʹ ἀντὶ ἰωνικοῦ.

SCHOL. VET. in Pind. *Pyth.* 8 (p. 19. 17 sq. Tessier) τὸ εʹ ἰωνικὸν δίμετρον ἀπὸ μείζονος βραχυκατάληκτον. τὸ ϛʹ τὸ αὐτὸ ὁμοίως.

SCHOL. REC. in Pind. *Pyth.* 10 (p. 175. 27 sqq. Irigoin) τὸ αʹ ἰαμβικὸν πενθημιμερές, τὸν δεύτερον ἔχον πόδα ἀνάπαιστον· εἰ δὲ βούλει, ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) δίμετρον βραχυκατάληκτον ἡμιόλιον ἐκ παιῶνος δευτέρου ἀντὶ ἰωνικοῦ καὶ ἡμίσεος.

SCHOL. VET. in Pind. *Nem.* 4 (p. 23. 13 sqq. Tessier) τὸ ιαʹ ἰαμβικὸν πενθημιμερές, ἢ ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) δίμετρον βραχυκατάληκτον (ἐπιωνικῷ

διμέτρῳ βραχείας *codd.*, ἢ ... βραχυκατάληκτον *corr. Pauw*), τῆς ἀρχούσης ἀδιαφόρου οὔσης.

Schol. vet. in Pind. *Nem.* 6 (p. 24. 26 Tessier) τὸ ζʹ ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) δίμετρον βραχυκατάληκτον.

Schol. vet. in Pind. *Nem.* 10 (p. 27. 16 sq. Tessier) τὸ ιαʹ ἰωνικὸν (*scil.* ἀπὸ μείζονος) δίμετρον βραχυκατάληκτον τῆς αʹ μακρᾶς λελυμένης.

Schol. in Aristoph. *eq.* 1111b (p. 241. 9 sqq. Jones-Wilson) Tr (ad vv. 1111-50) δεκάκωλοι δέ εἰσιν αἱ περίοδοι, τὸ δὲ μέτρον ἰωνικὸν ἀπὸ μείζονος, ὧν τὰ μέν ἐστι δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ οἷς καὶ Ἀνακρέων ἐχρήσατο, τὰ δὲ ἡμιόλια ἤτοι δίμετρα βραχυκατάληκτα, τὸ τέταρτον καὶ δέκατον ἑκάστης στροφῆς.

Schol. rec. in Aristoph. *nub.* 700a. 19 sqq. (p. 107 Koster) Tr[1] τὸ ιεʹ ˋσιν καί μ᾽ ἀπολοῦσιν᾽ (v. 714 sq.) δίμετρον βραχυκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ τροχαίου, ἰωνικόν.

Schol. in Aristoph. *pac.* 1329. 1 sq. (p. 181 Holwerda) vet διπλῆ καὶ ἑπτὰς μονοστροφικὴ περιόδων πεντακώλων ἰωνικῶν διμέτρων (*scil.* ἀπὸ μείζονος), δύο καταληκτικῶν, τριῶν δὲ βραχυκαταλήκτων.

Schol. rec. in Aristoph. *ran.* 440-459b. 17 sq. (p. 88 Chantry) τὸ ϛʹ (vv. 453, 459) ˋκαὶ τοὺς ἰδιώτας᾽ (v. 459), ἰωνικὸν ὅμοιον (*scil.* ἀπὸ μείζονος) ἡμιόλιον, ἤτοι δίμετρον βραχυκατάληκτον.

Apthon. GL VI 90. 28 sq. huius (*scil.* metri ionici a maiore) brachycatalectum (*scil.* dimetrum):

veris coma florens.

Atil. Fortvn. GL VI 289. 5 sqq. = p. 76. 3 sq. Morelli dimetrum (*scil.* ionicum a maiore) brachycatalectum:

veris coma florens.

Serv. GL IV 464. 5 sqq. = p. 37. 6 sqq. Elice de hipponactio. hipponactium constat dimetro (*scil.* ionico a maiore) brachycatalecto, ut est hoc:

palmam cape victor.

**2.** ⏑ ⏑ – ⏑ ⏑ – –

Schol. rec. in Aristoph. *ran.* 340-353b. 12 sq. (p. 66 Chantry) τὸ ιʹ (v. 349) καὶ τὸ ιαʹ (v. 350, quod colon in codd. iambo terminatur) ἰωνικὰ ἢ ἀναπαιστικά.

**3.** ⏑ – – – – –

Schol. anon. in Eur. *Hec.* 154-215 (p. 2. 16 sqq. Smith) τὸ κδʹ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον βραχυκατάληκτον ἐξ ἐπιτρίτου αʹ ἀντὶ ἰωνικοῦ καὶ σπονδείου.

**4.** – – ⏑ – ×

Sacerd. GL VI 540. 12 sqq. de dimetro brachycatalecto clodo hipponactio ionico maiore. ionicum maius dimetrum brachycatalectum clodum hipponactium fit spondeo, iambo et una syllaba, ideo brachycatalectum clodum, ut:

ΠΙΣΣΕΝΗΤΛΣΑΝΤΗΣ
recte dedere. [*P.S.*]